eſt enim vltimi, ſicut diximus: quippe cum eiuſmodi ſit id quod in actionem cadit. Vnde etiam intellectui oppoſita eſt. ille enim eſt terminorum, quorum nulla ratio eſt: hæc vltimi, cuius non eſt ſcientia, ſed ſenſus, neque is proprium, ſed eiuſmodi, quo ſentimus, in mathematicis triangulum eſſe vltimum. ſiſtet enim etiam illic, ſed hic ſanè ſenſus magis eſt qui eſt prudentia: ille ſpecies altera eſt.

CAPVT X.

IAm vero quærere & conſultare inter ſe differunt. conſultare enim quærere aliquid eſt. Oportet autem de bona conſultatione, quidnam ſit, ſtatuere: vtrum ſcientia aliqua, an opinio, an bona coniectatio, an aliquod aliud genus. Scientia quidem non eſt: non enim de iis quæ ſciunt, inquirunt, bona autem conſultatio, conſultatio quædam eſt: qui vero conſultat quærit, & ratiocinatur. Sed neq. bona coniectatio, eſt: quippe cùm & abſque ratione, & citum quid bona coniectatio ſit: longo autem tempore conſultent. Vnde aiunt, cito agenda eſſe quæ conſultaueris: tardè vero ac diu conſultandum. Adde quòd ſolertia & bona conſultatio diuerſa inter ſe ſunt. ſolertia vero bona quædam coniectatio eſt. Neq. vero bona conſultatio opinio vlla eſt, ſed qnoniam errat, qui malè conſultat: qui benè, rectè id facit bonam conſultationem eſſe rectitudinem quandam perſpicuum eſt: quæ tamē neque ſcientiæ eſt, neque opinionis. ſcientiæ ſiquidem neque rectitudo vlla eſt, neque error: opinionis autem veritas rectitudo eſt. Accedit, quòd definitum iam omni id eſt, cuius eſt opinio. Quinetiam neque ſine ratione, bona conſultatio eſt: cogitatione igitur eſt inferior: quippe cùm nondum ſit enunciatio. nam opinio non inquiſitio, ſed enuntiatio iam eſt. qui autem conſultat, ſiue benè, ſiue malè id faciat, quærit aliquid, ac ratiocinatur. Sed bona conſultatio conſultationis rectitudo quædam eſt. idcirco primum quid ſit, & circa quid verſetur conſultatio, eſt quærendum. Quoniam vero rectitudo pluribus modis dicitur: non omnem rectitudinem eſſe bonam conſultationem perſpicuum eſt. incontinens enim & prauus quod proponit ſibi ratiocinando videre, aſſequetur, vt ita rectè quidem conſultauerit: magnum tamen malum ſibi compararit. At bene conſultaſſe, eſſe bonum quoddam videtur. talis enim rectitudo conſultationis bona conſultatio eſt, quæ ad bonum aſſequendum ſpectat. Sed fieri tamen poteſt, vt falſa ratiocinatione id aſſequamur quódque oportet facere aſſequamur, per quod tamen oportet, non aſſequamur

A τοῦ γὰρ ἐσχάτου ἐστὶν, ὥσπερ εἴρηται. τὸ γὰρ πρακτὸν τοιοῦτον. ἀντίκειται μὲν δὴ τῷ νῷ· ὁ μὲν γὰρ νοῦς, τῶν ὅρων, ὧν οὐκ ἔστι λόγος· ἡ δὲ, τοῦ ἐσχάτου, οὗ οὐκ ἔστιν ἐπιστήμη, ἀλλ' αἴσθησις· οὐχ ἡ τῶν ἰδίων, ἀλλ' οἵᾳ αἰσθανόμεθα, ὅτι τὸ ἐν τοῖς μαθηματικοῖς ἔσχατον, τρίγωνον· στήσεται γὰρ κἀκεῖ. ἀλλ' αὕτη μᾶλλον αἴσθησις ἢ φρόνησις· ἐκείνης δὲ, ἄλλο εἶδος.

Κεφάλαιον ι.

B ΤΟ ζητεῖν δὲ, καὶ τὸ βουλεύεσθαι διαφέρει· τὸ γὰρ βουλεύεσθαι, ζητεῖν τι ἐστί. δεῖ δὲ διαλαβεῖν καὶ περὶ εὐβουλίας, τί ἐστι, πότερον ἐπιστήμη τις, ἢ δόξα, ἢ εὐστοχία, ἢ ἄλλό τι γένος. ἐπιστήμη μὲν δὴ οὐκ ἔστιν· οὐ γὰρ ζητοῦσι περὶ ὧν ἴσασιν· ἡ δ' εὐβουλία, βουλή τις ἐστίν· ὁ δὲ βουλευόμενος, ζητεῖ καὶ λογίζεται. ἀλλὰ μὴν, οὐδ' εὐστοχία· ἄνευ τε C γὰρ λόγου, καὶ ταχύ τι ἡ εὐστοχία· βουλεύονται δὲ πολὺν χρόνον, καὶ φασὶ, πράττειν μὲν δεῖν ταχὺ τὰ βουλευθέντα, βουλεύεσθαι δὲ βραδέως. ἔτι, ἡ ἀγχίνοια ἕτερον, καὶ ἡ εὐβουλία. ἔστι δ' εὐστοχία τις, ἡ ἀγχίνοια. οὐδὲ δὴ δόξα, ἡ εὐβουλία οὐδεμία. ἀλλ' ἐπεὶ, ὁ μὲν κακῶς βουλευόμενος, ἁμαρτάνει. ὁ δ' εὖ, ὀρθῶς βουλεύεται· δῆλον ὅτι ὀρθότης τις ἡ εὐ- D βουλία ἐστίν· οὔτ' ἐπιστήμης δὲ, οὔτε δόξης· ἐπιστήμης μὲν γὰρ οὐκ ἔστιν ὀρθότης. οὐδὲ γὰρ ἁμαρτία· δόξης δ' ὀρθότης, ἡ ἀλήθεια. ἅμα δὲ καὶ ὥρισται ἤδη πᾶν οὗ δόξα ἐστίν. ἀλλὰ μὴν οὐδ' ἄνευ λόγου ἡ εὐβουλία· διανοίας ἄρα λείπεται· αὕτη γὰρ οὔπω φάσις· καὶ γὰρ ἡ δόξα, οὐ ζήτησις, ἀλλὰ φάσις τις ἤδη. ὁ δὲ βουλευόμενος, ἐάν τε E εὖ, ἐάν τε κακῶς βουλεύηται, ζητεῖ τι, καὶ λογίζεται. ἀλλὰ ὀρθότης τίς ἐστιν ἡ εὐβουλία, βουλῆς· διὸ ἡ βουλὴ ζητητέα πρῶτον τί, καὶ περὶ τί. ἐπεὶ δὲ, ἡ ὀρθότης πλεοναχῶς, δῆλον ὅτι οὐ πᾶσα· ὁ γὰρ ἀκρατὴς καὶ ὁ φαῦλος, ὃ προτίθεται ἰδεῖν ἐκ τοῦ λογισμοῦ, τεύξεται· ὥστε ὀρθῶς ἔσται βεβουλευμένος, κακὸν δὲ μέγα εἰληφώς· δοκεῖ δὲ ἀγαθόν τι, τὸ εὖ βουλεύεσθαι· ἡ γὰρ τοιαύτη ὀρθότης βου- F λῆς, εὐβουλία, ἡ ἀγαθοῦ τευκτική. ἀλλ' ἔστι καὶ τούτου ψευδεῖ συλλογισμῷ τυχεῖν· καὶ ὃ μὲν δεῖ ποιῆσαι, τυχεῖν· δι' οὗ δὲ, οὔ.

ἀλλὰ